HYPERIDIS

ORATIO PRO EUXENIPPO

RECENS REPERTA.

RECENSUIT C. G. COBET.

(ΥΠΕΡΕΙΔΟΥ)

Ὑπὲρ Εὐξενίππου εἰσαγγελίας ἀπολογία πρὸς Πολύευκτον.

Ἀλλ' ἔγωγε, ὦ ἄνδρες δικασταὶ, ὅπερ καὶ πρὸς τοὺς παρακαθημένους ἀρτίως ἔλεγον, θαυμάζω εἰ μὴ προσίστανται ἤδη ὑμῖν αἱ τοιαῦται εἰσαγγελίαι· τὸ μὲν γὰρ πρότερον εἰσηγγέλλοντο πα' ὑμῖν Τιμόμαχος καὶ Λεωσθένης καὶ Καλλίστρατος καὶ Φίλων ὁ ἐξ Ἀναίων καὶ Θεότιμος ὁ Σηστὸν ἀπολέσας καὶ ἕτεροι τοιοῦτοι· καὶ οἱ μὲν αὐτῶν ναῦς αἰτίαν ἔχοντες προδοῦναι, οἱ δὲ πόλεις Ἀθηναίων, ὁ δὲ ῥήτωρ ὢν λέγειν μὴ τὰ ἄριστα τῷ δήμῳ· καὶ οὔτε τούτων πέντε ὄντων οὐδεὶς ὑπέμεινε τὸν ἀγῶνα ἀλλ' αὐτοὶ ᾤχοντο φεύγοντες ἐκ τῆς πόλεως, οὔτ' ἄλλοι πολλοὶ τῶν εἰσαγγελλομένων, ἀλλ' ἦν σπάνιον ἰδεῖν ἀπ' εἰσαγγελίας τινὰ κρινόμενον ὑπακούσαντα εἰς τὸ δικαστήριον· οὕτως ὑπὲρ μεγάλων ἀδικημάτων καὶ περιφανῶν αἱ εἰσαγγελίαι τότε ἦσαν· νυνὶ δὲ τὸ γιγνόμενον ἐν τῇ πόλει πάνυ καταγέλαστόν ἐστιν· Διογνίδης μὲν καὶ Ἀντίδωρος ὁ μέτοικος εἰσαγγέλλονται ὡς πλέονος μισθοῦντες τὰς αὐλητρίδας ἢ (ὅσου) ὁ νόμος κελεύει, Ἀγασικλῆς δ' ὁ ἐκ Πειραιῶς ὅτι εἰς Ἁλιμουσίους ἐνεγράφη, Εὐξένιππος δ' ὑπὲρ τῶν ἐνυπνίων, ὧν φησιν ἑορακέναι· ὧν οὐδεμία δήπου τῶν αἰτιῶν τούτων οὐδὲν κοινωνεῖ τῷ εἰσαγγελτικῷ νόμῳ.

Καίτοι, ὦ ἄνδρες δικασταὶ, ἐπὶ τῶν δημοσίων ἀγώνων οὐ χρὴ τοὺς

δικαςὰς πρότερον τὰ καθ' ἕκαςα τῆς κατηγορίας ὑπομένειν ἀκούειν πρὶν (ἂν) αὐτὸ τὸ κεφάλαιον τοῦ ἀγῶνος καὶ τὴν ἀντιγραφὴν ἐξετάσωσιν εἰ ἐςὶν ἐκ τῶν νόμων ἢ [μὴ] οὔ· μὰ Δί' οὐχ ὥσπερ ἐν τῇ κατηγορίᾳ Πολύευκτος ἔλεγεν οὐ φάσκων δεῖν τοὺς ἀπολογουμένους ἰσχυρίζεσθαι τῷ εἰσαγγελτικῷ νόμῳ, ὃς κελεύει κατὰ τῶν ῥητόρων αὐτῶν τὰς εἰσαγγελίας εἶναι περὶ τοῦ λέγειν μὴ τὰ ἄριςα τῷ δήμῳ, οὐ κατὰ πάντων Ἀθηναίων· ἐγὼ δὲ οὔτε πρότερον οὐδενὸς ἂν μνησθείην ἢ τούτου οὔτε πλείους οἶμαι δεῖν λόγους ποιεῖσθαι περὶ ἄλλου τινὸς ἢ ὅπως ἐν δημοκρατίᾳ κύριοι οἱ νόμοι ἔσονται καὶ αἱ εἰσαγγελίαι καὶ αἱ ἄλλαι κρίσεις κατὰ τοὺς νόμους εἰσίασιν εἰς τὸ δικαςήριον· διὰ τοῦτο γὰρ ὑμεῖς ὑπὲρ ἁπάντων τῶν ἀδικημάτων, ὅσα ἐςὶν ἐν τῇ πόλει, νόμους ἔθεσθε χωρὶς περὶ ἑκάςου αὐτῶν· ἀσεβεῖ τις περὶ τὰ ἱερά· γραφαὶ (εἰσιν) ἀσεβείας πρὸς τὸν βασιλέα. Φαῦλός ἐςι πρὸς τοὺς ἑαυτοῦ γονεῖς· ὁ ἄρχων ἐπὶ τούτου κάθηται. παράνομά τις ἐν τῇ πόλει γράφει· θεσμοθετῶν συνέδριόν ἐςιν. ἀπαγωγῆς ἄξια ποιεῖ· ἀρχὴ τῶν ἕνδεκα καθέςηκεν. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων ἀδικημάτων ἁπάντων καὶ νόμους καὶ ἀρχὰς καὶ δικαςήρια τὰ προσήκοντα ἑκάςοις αὐτῶν ἀπέδοτε. ὑπὲρ τίνων οὖν ᾤεσθε δεῖν τὰς εἰσαγγελίας γίγνεσθαι; τοῦτ' ἤδη καθ' ἕκαςον ἐν τῷ νόμῳ ἐγράψατε, ἵνα μὴ ἀγνοῇ μηδείς. Ἐάν τις, φησὶ, τὸν δῆμον τὸν Ἀθηναίων καταλύῃ. εἰκότως, ὦ ἄνδρες δικαςαὶ, ἡ γὰρ τοιαύτη αἰτία οὐ παραδέχεται σκῆψιν οὐδεμίαν οὐδενὸς οὐδ' ὑπωμοσίαν, ἀλλὰ τὴν ταχίςην αὐτὴν δεῖ εἶναι ἐν τῷ δικαςηρίῳ. ἢ συνίῃ ποι ἐπὶ καταλύσει τοῦ δήμου ἢ ἑταιρικὸν συναγάγῃ ἢ ἐάν τις πόλιν τινὰ προδῷ ἢ ναῦς ἢ πεζὴν ἢ ναυτικὴν ςρατιὰν ἢ ῥήτωρ ὢν μὴ λέγῃ τὰ ἄριςα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμβάνων· τὰ μὲν ἄνω τοῦ νόμου κατὰ πάντων τῶν πολιτῶν γράψαντες· ἐκ πάντων γὰρ καὶ τἀδικήματα ταῦτα γένοιτ' ἄν· τὸ δὲ τελευταῖον τοῦ νόμου κατ' αὐτῶν τῶν ῥητόρων, παρ' οἷς ἔςι καὶ τὸ γράφειν τὰ ψηφίσματα· ἐμαίνεσθε γὰρ ἂν εἰ ἄλλον τινὰ τρόπον τὸν νόμον τοῦτον ἔθεσθε ἢ οὕτως εἰ τὰς μὲν τιμὰς καὶ τὰς ὠφελείας ἐκ τοῦ λέγειν οἱ ῥήτορες καρποῦνται τοὺς δὲ κινδύνους ὑπὲρ αὐτῶν τοῖς ἰδιώταις ἀνεθήκατε. ἀλλ' ὅμως Πολύευκτος οὕτως ἐςὶν ἀνδρεῖος ὥςε εἰσαγγελίαν διώκων οὐκ ἔφη δεῖν τοὺς φεύγοντας τῷ εἰσαγγελτικῷ νόμῳ χρῆσθαι· καὶ οἱ μὲν ἄλλοι πάντες κατήγοροι ὅταν οἴωνται δεῖν ἐν τῷ προτέρῳ λόγῳ ὑφελεῖν τῶν φευγόντων τὰς ἀπολογίας τοῦτο παρακελεύονται τοῖς δικαςαῖς μὴ ἐθέλειν ἀκούειν

τῶν ἀπολογουμένων, ἐάν τινες ἔξω τοῦ νόμου λέγωσιν ἀλλ' ἀπαντᾶν πρὸς τὰ λεγόμενα καὶ κελεύειν τὸν νόμον ἀναγιγνώσκειν· σὺ δὲ τοὐναντίον τὴν εἰς τοὺς νόμους καταφυγὴν ἐκ τῆς ἀπολογίας οἴει δεῖν ἀφελέσθαι Εὐξενίππου.

Καὶ πρὸς τούτοις οὐδὲ βοηθεῖν οὐδένα φῄς δεῖν αὐτῷ οὐδὲ συναγορεύειν ἀλλὰ παρακελεύει τοῖς δικαϛαῖς μὴ ἐθέλειν ἀκούειν τῶν ἀναβαινόντων. καίτοι τί τούτου ἐν τῇ πόλει βέλτιον ἢ δημοτικώτερόν ἐϛι πολλῶν καὶ ἄλλων καλῶν ὄντων ἢ ὁπόταν τις ἰδιώτης εἰς ἀγῶνα καὶ κίνδυνον καταϛὰς μὴ δύνηται ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι τούτῳ τὸν βουλόμενον τῶν πολιτῶν ἐξεῖναι ἀναβάντα βοηθῆσαι καὶ τοὺς δικαϛὰς ὑπὲρ τοῦ πράγματος τὰ δίκαια διδάξαι; Ἀλλά, νὴ Δία, αὐτὸς τοιούτῳ πράγματι οὐ κέχρησαι ἀλλ' ὅτ' ἔφευγες τὸν ἀγῶνα ὑπ' Ἀλεξάνδρου τοῦ ἐξ Οἴου δέκα μὲν συνηγόρους ἐκ τῆς Αἰγηίδος φυλῆς ᾐτήσω, ὧν καὶ ἐγὼ εἷς ἦν αἱρεθεὶς ὑπὸ σοῦ, ἐκ δὲ τῶν ἄλλων Ἀθηναίων ἐκάλεις ἐπὶ τὸ δικαϛήριον τοὺς βοηθήσοντάς σοι. καὶ τὰ μὲν ἄλλα τί δεῖ λέγειν; αὐτῷ δὲ τούτῳ τῷ ἀγῶνι πῶς κέχρησαι; οὐ κατηγόρησας ὁπόσα ἐβούλου; οὐ Λυκοῦργον ἐκάλεις συγκατηγορήσοντα οὔτε τῷ λέγειν οὐδενὸς τῶν ἐν τῇ πόλει καταδεέϛερον ὄντα παρὰ τούτοις τε μέτριον καὶ ἐπιεικῆ δοκοῦντα εἶναι; εἶτα σοὶ μὲν ἔξεϛι καὶ φεύγοντι τοὺς βοηθήσοντας καλεῖν καὶ διώκοντι τοὺς συγκατηγόρους ἀναβιβάσασθαι, ὃς οὐ μόνον ὑπὲρ σεαυτοῦ δύνασαι εἰπεῖν ἀλλὰ καὶ ὅλῃ (τῇ) πόλει πράγματα παρέχειν ἱκανὸς εἶ, Εὐξενίππῳ δ' ὅτι ἰδιώτης ἐϛὶ καὶ πρεσβύτερος οὐδὲ τοὺς φίλους καὶ τοὺς οἰκείους ἐξέϛαι βοηθεῖν, εἰ δὲ μή, διαβληθήσονται ὑπὸ σοῦ.

Νὴ Δία, τὰ γὰρ πεπραγμένα αὐτῷ δεινά ἐϛι καὶ ἄξια θανάτου, ὡς σὺ λέγεις ἐν τῇ κατηγορίᾳ. σκέψασθε δή, ὦ ἄνδρες δικαϛαί, καθ' ἓν ἕκαϛον αὐτῶν ἐξετάζοντες. ὁ δῆμος προσέταξεν Εὐξενίππῳ τρίτῳ αὐτῷ ἐγκατακλινῆναι εἰς τὸ ἱερόν, οὗτος δὲ κοιμηθεὶς ἐνύπνιόν φησιν ἰδεῖν, ὃ τῷ δήμῳ ἀπαγγεῖλαι. τοῦτ' εἰ μὲν ὑπελάμβανες ἀληθὲς εἶναι καὶ ὃ εἶδεν ἐν τῷ ὕπνῳ τοῦτ' αὐτὸν ἀπαγγεῖλαι πρὸς τὸν δῆμον, τί καὶ ἀδικεῖ, ἃ ὁ θεὸς αὐτῷ προσέταττε ταῦτ' ἐξαγγείλας πρὸς Ἀθηναίους; εἰ δέ, ὥσπερ νυνὶ λέγεις, ἡγοῦ αὐτὸν καταψεύσασθαι τοῦ θεοῦ καὶ χαριζόμενόν τισι μὴ τἀληθῆ ἀπηγγελκέναι τῷ δήμῳ οὐ ψήφισμα ἐχρῆν σε πρὸς τὸ ἐνύπνιον γράφειν, ἀλλ', ὅπερ ὁ πρότερος ἐμοῦ λέγων εἶπεν, εἰς Δελφοὺς πέμψαντα πυθέσθαι παρὰ τοῦ θεοῦ τὴν ἀλήθειαν· σὺ δὲ τοῦτο μὲν οὐκ ἐποίησας, ψήφισμα δ' αὐτοτελὲς ἔγραψας κατὰ δυοῖν φυλαῖν

οὐ μόνον ἀδικώτατον ἀλλὰ καὶ ἐναντίον αὐτὸ ἑαυτῷ· δι' ὅπερ ἥλως παρανόμων, οὐ δι' Εὐξένιππον.

Ἐξετάσωμεν δὲ περὶ αὐτοῦ τουτονὶ τὸν τρόπον. αἱ Φυλαὶ σύνδυο γενόμεναι τὰ ὄρη τὰ ἐν Ὠρωπῷ διείλοντο, τοῦ δήμου αὐταῖς δόντος. τοῦτο τὸ ὄρος ἔλαχον Ἀκαμαντὶς καὶ Ἱπποθοωντίς. ταύτας τὰς Φυλὰς ἔγραψας ἀποδοῦναι τὸ ὄρος τῷ Ἀμφιαράῳ καὶ τὴν τιμὴν ὧν ἀπέδοντο, ὡς πρότερον τοὺς ὁριςὰς τοὺς πεντήκοντα ἐξελόντας αὐτὸ τῷ θεῷ καὶ ἀφορίσαντας καὶ οὐ προσηκόντως τὰς δύο Φυλὰς ἐχούσας τὸ ὄρος. μικρὸν δὲ διαλιπὼν ἐν ταὐτῷ ψηφίσματι γράφεις τὰς ὀκτὼ Φυλὰς πορίσαι ταῖν δυοῖν Φυλαῖν τὰ διάφορα καὶ ἀποδοῦναι ὅπως ἂν μὴ ἐλαττῶνται. καίτοι εἰ μὲν ἴδιον (ὂν) τῶν Φυλῶν ἀφῃροῦ τὸ ὄρος πῶς οὐκ ὀργῆς ἄξιος εἶ; εἰ δὲ μὴ προσηκόντως εἶχον αὐτὸ ἀλλὰ τοῦ θεοῦ ὄν, διὰ τί τὰς ἄλλας Φυλὰς ἔγραφες αὐταῖς προσαποδιδόναι (τ)ἀργύριον; ἀγαπητὸν γὰρ ἦν αὐταῖς εἰ τὰ τοῦ θεοῦ ἀποδώσουσι καὶ μὴ προσαποτίσουσιν ἀργύριον.

Ταῦτ' ἐν τῷ δικαςηρίῳ ἐξεταζόμενα οὐκ ὀρθῶς ἐδόκει γεγράφθαι, ἀλλὰ κατεψηφίσαντό σου οἱ δικαςαί. εἶτ' εἰ μὲν ἀπέφυγες τὴν γραφὴν οὐκ ἂν κατεψεύσατο οὗτος τοῦ θεοῦ, ἐπειδὴ δὲ συνέβη σοι ἁλῶναι Εὐξένιππον δεῖ ἀπολωλέναι· καὶ σοὶ μὲν τῷ τοιοῦτο ψήφισμα γράψαντι πέντε καὶ εἴκοσι δραχμῶν ἐτιμήθη, τὸν δὲ κατακλινέντα εἰς τὸ ἱερὸν τοῦ δήμου κελεύσαντος μηδ' ἐν τῇ Ἀττικῇ δεῖ ταφῆναι.

(Νὴ Δία,) δεινὰ γὰρ ἐποίησε περὶ τὴν φιάλην ἐάσας Ὀλυμπιάδα ἀναθεῖναι εἰς τὸ ἄγαλμα τῆς Ὑγιείας· τοῦτο γὰρ ὑπολαμβάνεις ἐφόδιον σαυτῷ εἰς τὸν ἀγῶνα τὸ ἐκείνης ὄνομα παραφέρων καὶ κολακείαν ψευδῆ κατηγορῶν Εὐξενίππου μῖσος καὶ ὀργὴν αὐτῷ συλλέξειν παρὰ τῶν δικαςῶν. δεῖ δέ, ὦ βέλτιςε, μὴ ἐπὶ τῷ Ὀλυμπιάδος ὀνόματι καὶ τῷ Ἀλεξάνδρου τῶν πολιτῶν τινὰ ζητεῖν κακόν τι ἐργάζεσθαι, ἀλλ' ὅταν ἐκεῖνοι πρὸς τὸν δῆμον τὸν Ἀθηναίων ἐπιςέλλωσι μὴ τὰ δίκαια μηδὲ τὰ προσήκοντα, τότε ἀναςάντα ὑπὲρ τῆς πόλεως ἀντιλέγειν καὶ πρὸς τοὺς ἥκοντας παρ' αὐτῶν δικαιολογεῖσθαι καὶ εἰς τὸ κοινὸν τῶν Ἑλλήνων συνέδριον πορεύεσθαι βοηθήσοντα τῇ πατρίδι. σὺ δ' ἐκεῖ μὲν οὐδεπώποτε ἀνέςης οὐδὲ λόγον περὶ αὐτῶν ἐποιήσω, ἐνθάδε δὲ μισεῖς Ὀλυμπιάδα ἐπὶ τῷ ἀπολέσαι Εὐξένιππον καὶ φῂς κόλακα αὐτὸν εἶναι ἐκείνης καὶ Μακεδόνων· ὃν ἐὰν δείξῃς ἀφιγμένον πώποτε εἰς Μακεδονίαν ἢ ἐκείνων τινὰ ὑποδεξάμενον εἰς τὴν αὐτοῦ οἰκίαν ἢ χρώμενον τῶν ἐκεῖθέν τινι ἢ ἐντυγχάνοντα ἢ λόγους οὐστινασοῦν ἢ ἐπ' ἐργαςηρίου

ἢ ἐν τῇ ἀγορᾷ ἢ ἄλλοθί που περὶ τούτων τῶν πραγμάτων εἰρηκότα καὶ μὴ κοσμίως καὶ μετρίως τὰ αὑτοῦ πράττοντα ὥσπερ εἴ τις καὶ ἄλλος τῶν πολιτῶν, χρησάσθων αὐτῷ οἱ δικαςαὶ ὅ τι βούλονται. εἰ γὰρ ταῦτ' ἦν ἀληθῆ ἃ κατηγορεῖς οὐκ ἂν σὺ μόνος ᾔδεις ἀλλὰ καὶ οἱ ἄλλοι πάντες οἱ ἐν τῇ πόλει, ὥσπερ καὶ περὶ τῶν ἄλλων ὅσοι τι ὑπὲρ ἐκείνων ἢ λέγουσιν ἢ πράττουσιν, οὐ μόνον οὗτοι ἀλλὰ καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἴσασι καὶ τὰ παιδία τὰ ἐκ τῶν διδασκαλείων καὶ τῶν ῥητόρων τοὺς παρ' ἐκείνων μισθαρνοῦντας καὶ τῶν ἄλλων τοὺς ξενίζοντας τοὺς ἐκεῖθεν ἥκοντας καὶ ὑποδεχομένους καὶ εἰς τὰς ὁδοὺς ὑπαντῶντας, ὅταν προΐωσι· καὶ οὐδαμοῦ ὄψει οὐδὲ παρ' ἑνὶ τούτων Εὐξένιππον καταριθμούμενον. σὺ δ' ἐκείνων μὲν οὐδένα κρίνεις οὐδ' εἰς ἀγῶνα καθίςης, οὓς πάντες ἴσασι ταῦτα πράττοντας, [κατ'] Εὐξενίππου δὲ κολακείαν κατηγορεῖς, οὗ ὁ βίος τὴν αἰτίαν οὐ παραδέχεται. καίτοι, εἰ νοῦν εἶχες, περί γε τῆς Φιάλης τῆς ἀνατεθείσης οὔτ' ἂν Εὐξένιππον ᾐτιῶ οὔτ' ἂν ἄλλον λόγον οὐδένα ἐνταῦθα ἐποιήσω. οὐ γὰρ ἁρμόττει. διὰ τί; καί μου τὸν λόγον, ὦ ἄνδρες δικαςαὶ, ἀκούσατε ὃν μέλλω λέγειν.

Ὑμῖν Ὀλυμπιὰς ἐγκλήματα πεποίηται περὶ τὰ ἐν Δωδώνῃ οὐ δίκαια, ὡς ἐγὼ δὶς ἤδη ἐν τῷ δήμῳ ἐναντίον ὑμῶν καὶ τῶν ἄλλων Ἀθηναίων πρὸς τοὺς ἥκοντας παρ' αὐτῆς ἐξήλεγξα [οὐ προσήκοντα αὐτὴν ἐγκλήματα τῇ πόλει ἐγκαλοῦσαν]. ὑμῖν γὰρ ὁ Ζεὺς ὁ Δωδωναῖος προσέταξεν ἐν τῇ μαντείᾳ τὸ ἄγαλμα τῆς Διώνης ἐπικοσμῆσαι. καὶ ὑμεῖς πρόσωπόν τε κοσμησάμενοι ὡς οἷόν τε κάλλιςον καὶ τἆλλα πάντα τἀκόλουθα καὶ κόσμον πολὺν καὶ πολυτελῆ τῇ θεῷ παρασκευάσαντες καὶ θεωρίαν καὶ θυσίαν πολλῶν χρημάτων ἀποςείλαντες ἐπεκοσμήσατε τὸ ἕδος τῆς Διώνης ἀξίως καὶ ὑμῶν αὐτῶν καὶ τῆς θεοῦ. ὑπὲρ τούτων ὑμῖν τὰ ἐγκλήματα ἦλθε παρ' Ὀλυμπιάδος ἐν ταῖς ἐπιςολαῖς, ὡς ἡ χώρα εἴη [ἡ Μολοσσία] αὐτῆς, ἐν ᾗ τὸ ἱερόν ἐςιν. οὔκουν προσήκειν ἡμᾶς τῶν ἐκεῖ οὐδὲ ἓν κινεῖν. ἐὰν μὲν τοίνυν τὰ περὶ τὴν Φιάλην γεγονότα ἐν ἀδικήματι ψηφίσησθε εἶναι τρόπον τινὰ καὶ ἡμῶν αὐτῶν καταγιγνώσκομεν ὡς τὰ ἐκεῖ οὐκ ὀρθῶς ἐπράξαμεν, ἐὰν δ' ἐπὶ τοῦ γεγενημένου ἐῶμεν τὰς τραγῳδίας αὐτῆς καὶ τὰς κατηγορίας ἀφῃρηκότες ἐσόμεθα. οὐ γὰρ δήπου Ὀλυμπιάδι μὲν τὰ Ἀθήνησιν ἱερὰ ἐπικοσμεῖν ἔξεςιν, ἡμῖν δὲ τὰ ἐν Δωδώνῃ οὐκ ἐξέςαι, καὶ ταῦτα τοῦ θεοῦ προστάξαντος.

Ἀλλ' οὐκ ἔςιν, ὦ Πολύευκτε, ὡς ἐμοὶ δοκεῖ, ὅθεν κατηγορίαν οὐκ ἂν ποιήσαιο. καίτοι σε ἐχρῆν, εἴπερ προῄρησαι πολιτεύεσθαι, καὶ νὴ Δία καὶ δύνασαι, μὴ τοὺς ἰδιώτας κρίνειν μηδ' εἰς τούτους

νεανιεύεσθαι, ἀλλὰ τῶν ῥητόρων ἐάν τις ἀδικῇ τοῦτον κρίνειν (ἢ) ςρατηγὸς ἐάν τις μὴ τὰ δίκαια πράττῃ τοῦτον εἰσαγγέλλειν· παρὰ γὰρ τούτοις ἐςὶ καὶ τὸ δύνασθαι βλάπτειν τὴν πόλιν, ὅσοι ἂν αὐτῶν προαιρῶνται, οὐ παρ' Εὐξενίππῳ οὐδὲ τῶν δικαςῶν τούτων οὐδενί· καὶ οὐ σὲ μὲν οὕτως οἴομαι δεῖν πράττειν, αὐτὸς δὲ ἄλλον τινὰ τρόπον τῇ πολιτείᾳ κέχρημαι, ἀλλ' οὐδ' αὐτὸς ἰδιώτην οὐδένα πώποτε ἐν τῷ βίῳ ἔκρινα, ἤδη δέ τισι καθ' ὅσον ἐδυνάμην ἐβοήθησα. τίνας οὖν κέκρικα [καὶ εἰς ἀγῶνα καθέςακα]; Ἀριςοφῶντα τὸν Ἀζηνιέα, ὃς ἰσχυρότατος ἐν τῇ πολιτείᾳ γεγένηται· καὶ οὗτος ἐν τούτῳ τῷ δικαςηρίῳ παρὰ δύο ψήφους ἀπέφυγε· Διοπείθη τὸν Σφήττιον, ὃς δεινότατος δοκεῖ εἶναι τῶν ἐν τῇ πόλει· Φιλοκράτη τὸν Ἁγνούσιον, ὃς θρασύτατα καὶ ἀσελγέςατα τῇ πολιτείᾳ κέχρηται· τοῦτον εἰσαγγείλας ἐγὼ ὑπὲρ ὧν Φιλίππῳ ὑπηρετήκει κατὰ τῆς πόλεως εἷλον ἐν τῷ δικαςηρίῳ καὶ τὴν εἰσαγγελίαν ἔγραψα δικαίαν καὶ ὥσπερ ὁ νόμος κελεύει, ῥήτορα ὄντα λέγειν μὴ τὰ ἄριςα τῷ δήμῳ τῷ Ἀθηναίων χρήματα λαμβάνοντα καὶ δωρεὰς παρὰ τῶν τἀναντία πραττόντων τῷ δήμῳ· καὶ οὐδ' οὕτως ἀπέχρησέ μοι τὴν εἰσαγγελίαν δοῦναι, ἀλλ' ὑποκάτω παρέγραψα· τάδ' εἶπεν οὐ τὰ ἄριςα τῷ δήμῳ χρήματα λαβών, εἶτα τὸ ψήφισμα αὐτοῦ ὑπέγραψα· καὶ πάλιν· τάδε εἶπεν οὐ τὰ ἄριςα τῷ δήμῳ χρήματα λαβών· καὶ τὸ ψήφισμα παρέγραφον· καὶ ἔςι μοι πεντάκις ἢ ἑξάκις τοῦτο γεγραμμένον· δίκαιον γὰρ ᾤμην δεῖν τὸν ἀγῶνα καὶ τὴν κρίσιν ποιῆσαι· σὺ δ' ἃ μὲν εἰπεῖν Εὐξένιππον φῄς οὐ τὰ ἄριςα τῷ δήμῳ οὐκ εἶχες γράψαι εἰς τὴν εἰσαγγελίαν ἰδιώτην δ' ὄντα κρίνεις ἐν τῇ τοῦ ῥήτορος τάξει. μικρὰ δὲ περὶ τῆς ἀντιγραφῆς εἰπὼν ἑτέρας αἰτίας καὶ διαβολὰς ἥκεις φέρων κατ' αὐτοῦ, λέγων ὡς Φιλοκλεῖ τὴν θυγατέρα ἐδίδου καὶ Δημοτίωνος δίαιταν ἔλαβε καὶ ἄλλας τοιαύτας κατηγορίας, ἵν' ἐὰν μὲν ἀφέμενοι τῆς εἰσαγγελίας περὶ τῶν ἔξω τοῦ πράγματος κατηγορηθέντων ἀπολογῶνται, ἀπαντῶσιν αὐτοῖς οἱ δικαςαί· τί ταῦθ' ἡμῖν λέγετε; ἐὰν δὲ μηδένα λόγον περὶ αὐτῶν ποιῶνται, ὁ ἀγὼν αὐτοῖς χείρων γίγνηται· τῶν γὰρ κατηγορηθέντων τὸ μὴ λαβὸν ἀπολογίαν ὑπὸ τῇ ὀργῇ τῶν δικαςῶν καταλείπεται. καὶ τὸ πάντων δεινότατον τῶν ἐν τῷ λόγῳ λεγομένων ὑπὸ σοῦ, ὃ σὺ ᾤου λανθάνειν ὧν ἕνεκα λέγεις οὐ λανθάνων, ὁπότε παραφθέγγοιο ἐν τῷ λόγῳ πολλάκις, ὡς πλούσιός ἐςιν Εὐξένιππος, καὶ πάλιν διαλιπὼν ὡς οὐκ ἐκ δικαίου πολλὴν οὐσίαν συνείλεκται· ἃ εἰς μὲν τὸν ἀγῶνα τοῦτον οὐδὲν δήπου ἐςὶν εἴτε πολλὰ οὗτος κέκτηται εἴτε ὀλίγα,

τοῦ δὲ λέγοντος κακοήθεια καὶ ὑπόληψις εἰς τοὺς δικαςὰς οὐ δικαία, ὡς ἄλλοθί που οὗτοι τὴν γνώμην ἂν σχοίησαν ἢ ἐπ' αὐτοῦ τοῦ πράγματος καὶ πότερον ἀδικεῖ ὑμᾶς ὁ κρινόμενος ἢ οὔ.

Κακῶς ἐμοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε **, καίτοι ταῦτά γ' ἴσασι πάντες ὅτι οὔτε δῆμός ἐςιν οὐδεὶς ἐν τῇ οἰκουμένῃ οὔτε μόναρχος οὔτ' ἔθνος μεγαλοψυχότερον τοῦ δήμου τοῦ Ἀθηναίων, τοὺς δὲ συκοφαντουμένους τῶν πολιτῶν ὑπό τινων ἢ καθ' ἕνα ἢ ἄθρους οὐ προΐεται ἀλλὰ βοηθεῖ. καὶ πρῶτον μὲν Τίσιδος τοῦ Ἀγρυλῆθεν ἀπογράψαντος τὴν Εὐθυκράτους οὐσίαν ὡς δημοσίαν οὖσαν, ἣ πλεόνων ἢ ἑξήκοντα ταλάντων ἦν, καὶ μετ' ἐκείνην πάλιν ὑπισχνουμένου τὴν Φιλίππου καὶ Ναυσικλέους ἀπογράψειν καὶ λέγοντος ὡς ἐξ ἀναπογράφων μετάλλων πεπλουτήκασι, τοσοῦτον οὗτοι ἀπέλιπον προσίεσθαί τινα τοιοῦτον λόγον ἢ τῶν ἀλλοτρίων ἐπιθυμεῖν, ὥςε τὸν ἐγχειρήσαντα συκοφαντεῖν αὐτοὺς εὐθὺς ἠτίμωσαν, τὸ πέμπτον μέρος τῶν ψήφων οὐ μεταδόντες· τοῦτο δ', εἰ βούλει, τὸ πρῴην ὑπὸ τῶν δικαςῶν πραχθὲν τοῦ ἐξελθόντος μηνὸς πῶς οὐ μεγάλου ἐπαίνου ἄξιόν ἐςι; Φήναντος γὰρ Λυσάνδρου τὸ Ἐπικράτους μέταλλον τοῦ Παλληνέως ἐντὸς τῶν μέτρων τετμημένον, ὃ εἰργάζετο μὲν ἤδη τρί' ἔτη, μετεῖχον δ' αὐτοῦ οἱ πλουσιώτατοι σχεδόν τι τῶν ἐν τῇ πόλει, ὁ δὲ Λύσανδρος ὑπισχνεῖτο τριακόσια τάλαντα εἰσπράξειν τῇ πόλει, τοσαῦτα γὰρ εἰληφέναι αὐτοὺς ἐκ τοῦ μετάλλου. ἀλλ' ὅμως οἱ δικαςαὶ οὐ πρὸς τὰς τοῦ κατηγόρου ὑποσχέσεις ἀποβλέποντες ἀλλὰ πρὸς τὸ δίκαιον, ἔγνωσαν ἴδιον εἶναι τὸ μέταλλον καὶ τῇ αὐτῇ ψήφῳ τάς τε οὐσίας αὐτῶν ἐν ἀσφαλεῖ κατέςησαν καὶ τὴν ὑπόλοιπον ἐργασίαν τοῦ μετάλλου ἐβεβαίωσαν. τοιγαροῦν αἱ καινοτομίαι (αἱ) πρότερον ἐκλελειμμέναι διὰ τὸν φόβον νῦν ἐνεργοί (εἰσι) καὶ τῆς πόλεως αἱ πρόσοδοι αἱ ἐκεῖθεν πάλιν αὔξονται, ἃς ἐλυμήναντό τινες τῶν ῥητόρων ἐξαπατήσαντες τὸν δῆμον καὶ δασμολογήσαντες τοὺς ἔχοντας. ἔςι γάρ, ὦ ἄνδρες δικαςαί, οὐχ οὗτος ἄριςος πολίτης, ὅςις μικρὰ δοὺς πλείω βλάπτει τὰ κοινὰ οὐδ' ὅςις εἰς τὸ παραχρῆμα ἐξ ἀδίκου πορίσας κατέλυσε τῆς πόλεως τὴν ἐκ δικαίου πρόσοδον, ἀλλ' ὅτῳ μέλει καὶ τῶν εἰς τὸν ἔπειτα χρόνον ὠφελίμων τῇ πόλει καὶ τῆς ὁμονοίας τῶν πολιτῶν καὶ τῆς δόξης τῆς ὑμετέρας· ὧν ἔνιοι οὐ φροντίζουσιν ἀλλὰ τῶν ἐργαζομένων ἀφαιρούμενοι πόρους φασὶ τούτους πορίζειν ἀπορίαν ἐν τῇ πόλει παρασκευάζοντες· ὅταν γὰρ ᾖ φοβερὸν τὸ κτᾶσθαι καὶ φείδεσθαι, τίς βουλήσεται κινδυνεύειν;

Τούτους μὲν οὖν ἴσως οὐ ῥᾴδιόν ἐςι κωλῦσαι ταῦτα πράττειν,

ὑμεῖς δὲ, ὦ ἄνδρες δικαςαὶ, ὥσπερ καὶ ἄλλους πολλοὺς σεσώκατε τῶν πολιτῶν ἀδίκως εἰς ἀγῶνας καταςάντας οὕτω καὶ Εὐξενίππῳ *βοηθήσατε καὶ μὴ περιίδητε αὐτὸν ἐπὶ πράγματι οὐδενὸς ἀξίῳ καὶ εἰσαγγελίᾳ τοιαύτῃ, ἣ οὐ μόνον οὐκ ἔνοχός ἐςιν ἀλλὰ καὶ αὐτὴ παρὰ τοὺς νόμους ἐςὶν εἰσηγγελμένη καὶ πρὸς τούτοις ὑπ' αὐτοῦ τοῦ κατηγόρου τρόπον τινὰ ἀπολελυμένη· εἰσήγγελκε γὰρ αὐτὸν* Πολύευκτος *λέγειν μὴ τὰ ἄριςα τῷ δήμῳ τῷ* Ἀθηναίων *χρήματα λαμβάνοντα καὶ δωρεὰς παρὰ τῶν τἀναντία πραττόντων τῷ δήμῳ τῷ* Ἀθηναίων· *εἰ μὲν οὖν ἔξωθεν τῆς πόλεως τινὰς ᾐτιᾶτο εἶναι, παρ' ὧν τὰ δῶρα εἰληφότα* Εὐξένιππον *συναγωνίζεσθαι αὐτοῖς, ἦν ἂν αὐτῷ εἰπεῖν ὅτι ἐπειδὴ ἐκείνους οὐκ ἔςι τιμωρήσασθαι, δεῖ τοὺς ἐνθάδε αὐτοῖς ὑπηρετοῦντας δίκην δοῦναι. νῦν δὲ* Ἀθηναίους *φησὶν εἶναι παρ' ὧν τὰς δωρεὰς εἰληφέναι αὐτόν. εἶτα σὺ ἔχων ἐν τῇ πόλει τοὺς ὑπεναντία πράττοντας τῷ δήμῳ οὐ τιμωρεῖ ἀλλ'* Εὐξενίππῳ *πράγματα παρέχεις;*

Βραχὺ *δ' ἔτι εἰπὼν περὶ τῆς ψήφου ἧς ὑμεῖς μέλλετε φέρειν καταβήσομαι. ὅταν γὰρ μέλλητε, ὦ ἄνδρες δικαςαὶ, διαψηφίζεσθαι, κελεύετε ὑμῖν τὸν γραμματέα ὑπαναγνῶναι τήν τε εἰσαγγελίαν καὶ τὸν νόμον τὸν εἰσαγγελτικὸν καὶ τὸν ὅρκον τὸν ἡλιαςικόν, καὶ τοὺς μὲν λόγους ἁπάντων ἡμῶν ἀφέλετε, ἐκ δὲ τῆς εἰσαγγελίας καὶ τῶν νόμων σκεψάμενοι ὅ τι ἂν ὑμῖν δοκῇ δίκαιον καὶ εὔορκον εἶναι τοῦτο ψηφίσασθε.*

Ἐγὼ *μὲν οὖν σοι,* Εὐξένιππε, *βεβοήθηκα ὅσα εἶχον. λοιπὸν δ' ἐςὶ δεῖσθαι τῶν δικαςῶν καὶ τοὺς φίλους παρακαλεῖν καὶ τὰ παιδία ἀναβιβάζεσθαι.*

Ὑπὲρ Εὐξενίππου
εἰσαγγελίας
ἀπολογία πρὸς Πολύευκτον.

Praeclarum Antiquitatis monumentum recens repertum in *Aegypto* et in *Anglia* editum propero cum omnibus philologis nostratibus communicare. *Arabes* quidam *τυμβωρύχοι*, quum in superiore *Aegypto* sepulcra vetustissima perscrutarentur, repererunt volumen papyraceum, quo orationes Hyperidis contine-

bantur tres: *κατὰ Δημοσθένους*, *ὑπὲρ Λυκόφρονος* et *ὑπὲρ Εὐξενίππου*. Lucro intenti librum discerpunt ac partes frustatim harum rerum curiosis venditant. Sic pars eiusdem voluminis in HARRISII manus, pars in ARDENII pervenit. Utriusque viri nobilissimi cura prospectum est ut quidquid de lacero ac mutilato codice superesset in patriam ad eruditos viros perferretur, quorum opera et studio ederetur in lucem. Viro doctissimo BABINGTON Cantabrigiensi contigit esse tam felici ut ea provincia ei mandaretur. Is summa fide et industria perdifficile negotium ad exitum perduxit. Intentissima cura quidquid legi potuit expedivit, lacunas non mediocri acumine supplevit, commentarium utilem addidit, verbo editoris principis officio egregie functus est. Idem ultro eruditorum studia excitavit, ut si quid se fugisset, aliorum ingenio et doctrina ad HYPERIDEM suum restituendum et illustrandum conferretur. Itaque ipse SCHNEIDEWINUM Goettingensem in hanc laudis societatem vocavit. SCHNEIDEWINUS complura recte restituit et feliciter correxit HYPERIDEMque ita edidit et parabilem fecit ut philologi omnes ei prodesse possimus. Ego nunc hoc maxime ago, ut qui in *Hollandia* nostra *Graecas* Litteras amant, omnes novum hoc *ἕρμαιον* legere possint, deinde si quid opis afferre male mulcato oratori *Attico* tumultuaria hac opera potui paucissimis adscripsi. Delegi orationem unam, quae propemodum integra superest et lectu dignissima est, *ὑπὲρ Εὐξενίππου*, nam lacerae laciniae orationis *κατὰ Δημοσθένους*, ne dicam dolo, sunt perexigui pretii et vix digna in quibus ingenium experiaris. Quam vellem BABINGTON abstinuisset manus potius quam nobis haec male *Graeca* et *ἀδιανόητα* apposuisset (fragm. 16): *Ἀλλὰ Δημοσθένης καὶ οἱ φίλοι αἰσχρὸν εἶναι εἰ ἀνακοινοῦντε τὸ πρᾶγμα Φιλοξένῳ φάσκουσι· καλῶς· ἀλλ' ἐχρῆν τὸν Ἅρπαλον ἥκοντα εἰς τὴν πόλιν, τῶν δὲ ταλάντων οὐδεμίαν ἐν τῷ δήμῳ δόντα ἀπόφασιν παρακρούειν; οὐ καὶ ἀδείας τυχεῖν ἐπέτρεψας; τίνος ἕνεκα ἔλαβες ἀπόφασιν;* sunt haec *Italicis* philologis quam *Anglis* digniora et nimis saepe sic peccavit.

Eadem fere ratio est orationis *ὑπὲρ Λυκόφρονος*, cuius exigua pars iucunde legi potest, in caeteris *οὐδὲν ὑγιές*. Contra defensio EUXENIPPI in papyraceo libro propemodum integra et illaesa exstat, ubicumque temporis et hominum iniuriae aliquid fecere

detrimenti, certa et evidens emendatio sarcivit damnum, in qua re pleraque Babingtoni industria effecit, reliqua propemodum omnia exhausit Schneidewini acumen, ut unus tantum in oratione sit locus incertis et infelicibus coniecturis vexatus, p. 316, 4. Multum tamen abest, ut ipsa oratoris manus in vetusto libro appareat et quemadmodum incertissimum est quae sit codicis aetas et hariolantur qui apud Schneidewinum in Praef. p. viii. *bis mille annos ei tribuunt*, sic satis constat Schneidewinum fugisse rationem quum scriberet ibid. *codex ipse verba paene talia custodivisse videtur, qualia de Hyperidis manu exierant.* In aetate monumentorum huiuscemodi definienda valet Archimedeum illud: *δός μοι ποῦ στῶ*, nam nihildum satis est certum ac stabile in quo firmiter consistere possis. Si pervetus liber est, novo argumento erit quam iustae sint querelae Strabonis lib. XIII. p. 609. Cas. *τὴν Ἀπελλικῶντος βιβλιοθήκην διεχειρίσαντο βιβλιοπῶλαί τινες γραφεῦσι φαύλοις χρώμενοι καὶ οὐκ ἀντιβάλλοντες, ὅπερ καὶ ἐπὶ τῶν ἄλλων συμβαίνει τῶν εἰς πρᾶσιν γραφομένων βιβλίων καὶ ἐνθάδε καὶ ἐν Ἀλεξανδρείᾳ.* Itaque fieri potest, ut bis mille annorum sit liber et certum est *a librario illitterato et alias res agente negligenter admodum et mendose esse descriptum.* Quam imperitus fuerit litterarum ostendunt vitia scripturae huiusmodi: *τριαετηι, πλειωι, εγωι, δημωι, ητησωι, εποιησωι, πεντηκοντα, ορηι, πολυτεληι* atque adeo *βασιλεαι, δικαστηριαι, δηι*: quod pro ῑ producto *ει* subinde dedit pervulgatum est vitium antiquiorum, *μειχρα, εκρεινα, ετειμηθη, μεισεισ, αφειγμενον, καταγεινωσκομεν, τειμωρη* (pro *τιμωρεῖ*), *βελτειον*, sed idem *καταλιπεται* scribit, *εκλελιμμεναι, συνιλεκται, ισαγγελιασ, διοπιθη*, sed *αδικεια*: *υγειασ* et *επεικη, επεικεια* et *ηργαζετο* ex plebeio sermone irrepserunt, quemadmodum imperativi forma *χρησάσθωσαν* et *δειξάτωσαν* et perfecti *καθέστακα* e *Macedonica* dialecto: alios errores incuria fudit: *εισισασιν* (pro *εἰσίασιν*), *λογουσσ, αποτισισουσι, αυζονται*, alias res agens *τα δικαια αναβιβαζεσθαι* posuit pro *τὰ παιδία*. Haec omnia contemni possunt, nisi quod homines docti nonnulla ex his pro genuinis solent habere et cupide recipere et obtrudere *Atticis reverentia veterum membranarum* aut, ut in nostro, *fide monumenti bis mille annorum.* Babington et Schneidewin multa ex his aequissimo animo tulerunt et commendarunt adeo pro-

ductis testibus sed levibus et futilibus, in quos convenit quod candidi animi librarius in codice *Regio Parisino* 2498 (apud MONTFAUCON in *Palaeogr. Graeca* p. 304) ultro de se fatetur:

οἶδα μὲν οἶδα σφαλμάτων πολλῶν γέμον
ὃ χερσὶν αὐτὸς πυξίον ἐγεγράφειν,
ἀλλ' ἔςε μοι μέτριοι, καὶ γὰρ οὐκ ἔχω
τὴν τεχνικὴν σύμμαχον ὀρθογραφίαν.

Itaque noster, qui συνσκευάζειν, ἐνκαλεῖν, συνλέξειν, ἐγδίδοσθαι, ἀνέγδοτος scribit, veniam facile impetrabit sed non ut non corrupisse *Graecam* scripturam videatur. At haec quidem nugatoria vitia sunt, quae legentem offendere possunt, impedire et morari non possunt. Sed multo graviora passim peccavit, quos locos ordine percurram. Pag. 310, 13. Διογνίδης non est *Graecum* sed Διογενείδης, ut Ἀντιγενείδης non Ἀντιγενίδης. Cf. ANAXANDRIDEM ap. ATHEN. IV. p. 131. Αὐλεῖν δ' αὐτοῖς Ἀντιγενείδαν. Vs. 15 requiro ᾗ (ὅσου) ὁ νόμος κελεύει, tum Πειραιῶς pro Πειραιέως reposui. *Attici* non utuntur his formis nisi contractis, librariis aliter visum. Et formis in — αιεύς quidem etiam caeteri *Graeci* semper utebantur contractis, quod antiquae corruptelae demonstrant, de quo genere nunc quidem pauca expromam exempla propediem plura daturus. Recte MEINEKIUS STRABONI IX. p. 398 reddidit εἶτα Θοραιεῖς pro εἶθ' ὀρεεῖς (*Vindic. Strabon.* p. 134), male idem in vicinia Θορέας mutavit in Θοραιέας, in veteri mendo latet Θοραιᾶς. In DIOGENE LAERT. VI. 4. 1. τοῦτον Δημήτριος ὁ Μάγνης Ἀςυπαλαιέα φησί. Codd. omnes Ἀςυπαλέα, unde eruendum Ἀςυπαλαιᾶ. Insigne exemplum est apud DIOD. SICUL. XV. 30. κατελάβετο τὴν ἀκρόπολιν τῶν Ἑςιαιέων, Codd. ἀκτιαίων, pervetus mendum pro αιστιαιων, εστιαιων, id est Ἑςιαιῶν. Apud *Atticos* quaecunque vocalis vel diphthongus praecedit terminationem in — εύς crasis est perpetua, si exceperis unum ἁλιεύς. Itaque Παιανιέα, ut hoc utar, *Atticis* auribus erat inauditum, dicebant Παιανιᾶ. Librarii *Alexandrini* has formas iam olim corruperunt. Itaque iam DIDYMUS apud AESCHINEM in *Ctesiphontea* §. 51. p. 60 ἐγράψατο εἰς Ἄρειον πάγον Δημομέλη τὸν Παιανιέα annotavit: γραπτέον Παιανιᾶ χωρὶς τοῦ ε̄, vid. HARPOCRAT. v. Παιανιεῖς, ubi BEKKERUS alias res agens edidit Παιανέα χωρὶς τοῦ ῑ. Eadem labes optimum quemque

scriptorem *Atticum* infecit. Apud THUCYDIDEM nimium patienter retinent formas Πλαταιέας, Μηλιέας, Πυθαέως II. 76. V. 51. V. 53, similes passim. Vetus mendum I. 107. ἐσ δωριάσ servavit Δωριᾶς. Satis constat formas resolutas deberi scribis et *Atticorum* locos esse emendandos omnes ad hanc normam, quam et alii *Grammatici* prodiderunt et HARPOCRATION v. ἀγυιᾶς. Eiusdem generis est quod continuo in papyro legitur ἑωρακέναι. *Athenienses* ἑορακέναι dicebant, ut ἑαλωκέναι secunda correpta, quae producitur in ἑάλων, ut in ἑώρων. Ne metrum quidem librarios ab eo errore retinet. Vs. 7. ὧν οὐδεμία δήπου τῶν αἰτιῶν τούτων: quis sic loquitur aut locutus umquam est? Aliena admovet SCHNEIDEWIN. Remedium quaerendum est, nam aliquid monstri hic ali certum est.

Pag. 311, 3. BS. εἰ ἐςὶν ἐκ τῶν νόμων ἢ μή. οὐ μὰ Δία οὐχ ὥσπερ κτἑ. Voculam οὐ, quam priora requirunt, posteriora respuunt. Expunge μή et habebis HYPERIDIS manum: — ἢ οὔ. μὰ Δί', οὐχ ὥσπερ κτἑ. Contrario errore scriba dedit p. 311, 6. λέγειν μὴ οὐ τὰ ἄριςα, ubi οὐ expunxerunt BS.

Vs. 2. πρὶν αὐτὸ τὸ κεφάλαιον — ἐξετάσωσιν. Prorsus necessarium est, quod S. coniecit: πρὶν ἂν αὐτό. Abutuntur codicum auctoritate nec multos codices tractarunt qui librariorum fidem in talibus implorant, ut Graecitati vim afferant.

Vs. 8. ποεῖσθαι, quod debetur socordiae scribarum, in ποιεῖσθαι refinxi; ποεῖν ac similia, quamquam in libris sexcenties occurrunt, nihilo meliora sunt quam τοοῦτος, δείλαος, Πειραῶς, nam hoc quoque constanter mediam corripit.

Vs. 13. γραφαι β ασεβειας: Litera φ notatur puncto, β expunctum est. Reposui quod in huiusmodi re tralaticium est: γραφαί εἰσιν ἀσεβείας. Exemplum est vel apud ipsum HYPERIDEM *pro Lycophr.* p. 27, 17 SCHN. Compendia scripturae et siglae tam antiqua sunt, ut εἰσιν scriptum nota tachygraphica indoctum scribam fefellisse suspicer. Πρός et κατά notis scripta quam saepe et quamdudum interciderint propediem ostendam.

Vs. 19. ὑπὲρ τίνων οὖν οἴεσθε δεῖν τὰς εἰσαγγελίας γίγνεσθαι; optime haec haberent si adderetur: τοῦτ' ἤδη καθ' ἕκαςον ἐγὼ διδάξω, at sequitur: τοῦτ' ἤδη καθ' ἕκαςον ἐν τῷ νόμῳ ἐγράψατε, ut sententia ridicula et absurda exeat. Repone ᾤεσθε et ratio con-

stabit. Simili modo scriba erravit p. 316, 15 ubi *προιην* dederat, at ipse correxit *πρωιην*.

Vs. 21. *ἐάν τις τὸν δῆμον καταλύσῃ*: Bonum factum quod librarius ipse in *καταλυσῃ* punctum litterae *σ* addidit et sic expungendam esse ostendit. Non solent dare poenas *οἱ καταλύσαντες τὸν δῆμον*. Namque *κρείττους ἤδη γίγνονται τῆς παρὰ τῶν ἀδικουμένων τιμωρίας*, ut ait Lycurgus in *Leocrat.* §. 126 et tempora nostra testantur. Idem ioculare vitium obsidet Lysiae locum nobilem de Theramene (in *Eratosth.* §. 78) *δικαίως μὲν ἐν ὀλιγαρχίᾳ δίκην δόντος (ἤδη γὰρ αὐτὴν κατέλυσε), δικαίως δ' ἂν ἐν δημοκρατίᾳ, δὶς γὰρ ὑμᾶς κατεδουλώσατο.* Neminem vidisse *κατέλυε* requiri! Contra in *Lexico Rhetorico*, quod *Photiano* Porsoni subiectum est, male Schneidewin legebat: *ἢ ἐάν τις προδιδῷ χωρίον ἢ ναῦς ἢ πεζὴν ϛρατιάν*: nam hi quidem in iudicium adducebantur *ἐπ' ἐξειργασμένοις*, quare *προδῷ* scribendum. Cf. Aeschin. *in Ctesiph.* §. 171. p. 78.

Vs. 24. *δεῖ εἶναι ἐν τῷ δικαϛηρίῳ.* Bakius: *εἰσιέναι εἰς τὸ δικαϛήριον.*

Vs. 31. *ἐμαίνεσθε γὰρ ἂν εἰ ἄλλον τινὰ τρόπον τὸν νόμον τοῦτον ἔθεσθε ἢ οὕτως εἰ τὰς μὲν τιμὰς καὶ τὰς ὠφελείας ἐκ τοῦ λέγειν οἱ ῥήτορες καρποῦνται, τοὺς δὲ κινδύνους ὑπὲρ αὐτῶν τοῖς ἰδιώταις ἀνεθήκατε.* Quicumque est, ut Longini verbis utar (in *Art. Rhetor.* p. 713. Ald. 561. Walz.), *τετριμμένος τὰ ὦτα πρὸς τὴν σύνθεσιν τῶν σεμνῶν καὶ ἀρχαίων λόγων* facile sentiet hanc scabritiem orationis in nitido et facundo cive *Attico* ferri non posse. Schneidewinus nescio quam *παράταξιν* veterum commemorat. Nemo nostrum tam negligenter et inepte scripsisset et Hyperidem credamus? Mihi quidem satis certum est compluscula verba post *ἢ οὕτως* vel *ἢ οὑτωσί*, quod in *ουτωσει* facile potuit corrumpi, scribae socordia intercidisse. Praeterea *κίνδυνον ἀνατιθέναι τινὶ* non facile credam *Graecum* esse.

Vs. 38. *μὴ ἐθέλειν ἀκούειν τῶν ἀπολογουμένων ἐάν τινες ἔξω τοῦ νόμου λέγωσιν.* Pro *τινες* si *τι* legeris nihil erit molestiae, si *τινες* servabitur, inepte dictum erit.

Pag. 312, 6. *παρακελευη* codex, *παρακελεύει* Hyperides et aequales dicebant, quae formae ubique revocandae.

Vs. 11. Suspiciosum est *ὑπὲρ τοῦ πράγματος* pro *περί*, et vi-

tiosum sine controversia *νὴ Δία — οὐ κέχρησαι* pro *μὰ Δία*, deinde *αὐτὸς τοιούτῳ πράγματι οὐ κέχρησαι* non significat id quod locus postulat et sine exemplo dictum est.

Vs. 19. *ἐπεικῆ* quod S. librario invito obtrudit, nam ipse correxit errorem, eiusdem farinae est atque *ὑγεία*, *ταμεῖον* atque alia, in quibus *ιει* concurrunt in lingua antiquiore. In versu Menandreo apud Harpocr. v. *Κτησίου Διός*

ἔχοντα τὸ ταμιεῖον οὐ κεκλεισμένον

scribae omnium codicum de more *ταμεῖον* dederunt; quid credamus peccasse in oratione soluta?

Vs. 22. *ὅλῃ πόλει*: quod orator dicit *Graece* sonat *ὅλῃ τῇ πόλει*, quod restituendum.

Vs. 23. *εἰ δὲ μὴ διαβληθήσονται ὑπὸ σοῦ νὴ Δία· τὰ γὰρ πεπραγμένα αὐτῷ δεινὰ καὶ θανάτου ἄξια*: unusquisque statim admonitus concedet haec esse distinguenda in hunc modum: *διαβληθήσονται ὑπὸ σοῦ. Νὴ Δία, τὰ γὰρ πεπραγμένα κτὲ.* Eadem forma dicendi obliterata est p. 313, 23. *μηδ' ἐν τῇ Ἀττικῇ δεῖ ταφῆναι. δεινὰ γὰρ ἐποίησε.* Supple: *Νὴ Δία, δεινὰ γὰρ ἐποίησε*, cuius lectionis vestigia quaedam obscura exstant in scriptura codicis negligenter correcta.

Vs. 29. *ἐγκατακλιθῆναι*: *Athenienses* non aliter dicebant quam *κατακλινῆναι* et *ἐγκατακλινῆναι*, *Alexandrini* contra — *κλιθῆναι* usurpabant. Itaque forma vetus obliterari solet in *Atticorum* monumentis, subrepit nova. In Aristophanis *Avibus* Vs. 122.

ὥσπερ σισύραν ἐγκατακλινῆναι μαλθακήν.

tandem ex uno codice, sed optimo *Ravennate*, receptum est a Dindorfio. Caeteri scripti et editi conspirant in *ἐγκατακλιθῆναι*. Turpe est ad hunc diem scholion antiquum ad h. l. sic edi: *ἐγκατακλιθῆναι: οὕτως Ἀττικοὶ, ὡς ἐν Νεφέλαις·* (694) *ἀλλὰ κατακλινεὶς δευρί. τὸ δὲ κλινθῆναι κοινόν.* Lege: *ἐγκατακλινῆναι* et *τὸ δὲ κλιθῆναι κοινόν.*

Vs. 31. *τοῦτ' — ἀληθῆ εἶναι.* Scriba sensit errorem, correxit *ἀληθὲς*, non licuit per Schn., qui comparavit Platonica: *τοῦτο δοκεῖς μοι ἀληθῆ λέγειν, τοῦτο σκεπτέον εἰ ἀληθῆ λέγω*, quae aut vitiosa sunt aut aliena. Addit: » *quid discriminis sit inter ἀληθὲς λέγειν et ἀληθῆ τι λέγειν vel me tacente intelligitur.*" Neque hercle intelligo neque haec omnino *Graece* dici posse arbitror. *Graecum* est *ἀληθῆ λέγεις* et *τοῦτ' ἀληθὲς λέγεις* breviter

pro *ἀληθές ἐςι τοῦθ', ὃ λέγεις*. Itaque *ἀληθές* restitui.

Pag. 313, 5. *ἔλαχεν Ἀκαμαντὶς καὶ Ἱπποθοωντίς*: Ne diligentissimo quidem et docto librario, nedum nostro tam imperito et negligenti, credi potest sic bene *Graece* dici pro *ἔλαχον*, quod reposui. Eodem modo nos librarii ludificantur in *Apologia* PLATONIS p. 36. A. *εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Μέλητος κατηγορήσοντες ἐμοῦ*, ubi *ἀνέβησαν* legendum esse apparet.

Vs. 10. *τὰς ὀκτὼ φυλὰς ποιῆσαι ταῖν δυοῖν φυλαῖν τὰ διάφορα*: *ποιῆσαι* facilis sed non levis error est pro *πορίσαι*.

Vs. 11. *εἰ μὲν ἴδιον τῶν φυλῶν ἀφηροῦ τὸ ὄρος*: ut *Graeca* oratio sit supplendum *ἴδιον ὄν*, nam sensus est: *εἰ μὲν ἴδιον ἦν τῶν φυλῶν τὸ ὄρος, ὃ ἀφηροῦ*, continuo sequitur: *εἰ δὲ μὴ προσηκόντως εἶχον αὐτὸ ἀλλὰ τοῦ θεοῦ ὄν*, ubi non tam proclivis erat error.

Vs. 14. *προσαποδιδόναι ἀργύριον*: excidit articulus et reponendum *τἀργύριον*. *προσαποδιδόναι*, quod est ex rarioribus, prorsus eodem modo ponitur apud DIPHILUM ATHENAEI VI. p. 225.

ἔπειτ' ἐὰν τἀργύριον αὐτῷ καταβάλῃς
ἐπράξατ' Αἰγιναῖον, ἣν δ' αὐτὸν δέῃ
κέρματ' ἀποδοῦναι προσαπέδωκεν Ἀττικά.
κατ' ἀμφότερα δὲ τὴν καταλλαγὴν ἔχει.

Vs. 20. *κατακλιθέντα*: ut supra ostendimus, *Attica* forma restituenda est *κατακλινέντα*.

Vs. 25. *ὑπολαμβάνεις ἐφόδιον ἑαυτῷ*: multum dubito possitne *Graece αὑτοῦ* pro *ἐμαυτοῦ* et *σεαυτοῦ* poni, quae pervulgata omnium opinio est magnam partem fulta locis vitiosis vel intricatioribus vel artificiosius compositis. *Αὐτὸς αὑτόν* in secunda persona recte ponitur, vid. BRUNCK ad SOPH. *Oed. Col.* 853. sed *ἀγαθὴν ἐλπίδα πρόβαλλ' ἑαυτῷ* vel *σὺ μὲν οὖν ἑαυτὸν ἀπολεῖς* ac similia librariis deberi in diem mihi fit certius. Quo plures verso Codices et Codicum scripturas, crescit mihi copia exemplorum unde liquido appareat quam sint scribae et *Graeculi* ad hoc genus vitii *εὐεπίφοροι*. In ISOCRATIS *Nicocle* saepissime *σαυτοῦ* servatum est, semel peccatur in §. 58. *ἃ τοῖς αὑτοῦ παισὶν ἂν συμβουλεύσειας τούτοις αὐτὸς ἐμμένειν ἀξίου*, ubi *σαυτοῦ* non minus est necessarium quam in his XENOPHONTIS *Cyrop.* VI. 3. 27. *σὺ δὲ παράγγελλε τοῖς ἑαυτοῦ ἐφορᾶν ἑκάςῳ τοὺς καθ' αὑτόν*. Quam vetus sit error locus noster arguit.

Pag. 314, 3. *χρησάσθωσαν αὐτῷ οἱ δικαςαὶ ὅ τι βούλονται*: Hyperides neque in rep. neque verbis solebat *μακεδονίζειν*, itaque *χρησάσθων* scripserat, in cuius locum, ut sexcenties alibi, surrepsit novitia forma, cuius exempla quotquot apud veteres *Atticos* leguntur ad *constantem* consuetudinem antiqui sermonis sunt refingenda.

Vs. 6. *οὐ μόνον αὐτοί*: *αὐτοί* sunt *οἱ μακεδονίζοντες*, quod absurdum est. Emenda *οὗτοι*, *hi* iudices; caeterum impeditus hic locus est et inconcinnus, ut periisse nonnulla credam et male coaluisse scripturae reliquias.

Vs. 10. *ὑπαντῶντας ὅταν προσίωσιν*: at hoc quidem non facere humanum non est, nedum *Atticae* elegantiae. Corrige: *προΐωσιν*, *quando in publicum prodeunt.*

Vs. 13. *κατ' Εὐξενίππου δὲ κολακείαν κατηγορεῖς*: quam constanter omnes ex ratione et usu Graecitatis omittunt praepositionem, hanc Hyperidem unum semel addidisse credemus? deinde pro *τὴν αἰτίαν* Bakius *ταύτην τὴν αἰτίαν* requirebat: et sanequam aut hoc verum est aut *τοιαύτην αἰτίαν*.

Vs. 20. *ὡς ἐγὼ δὶς — ἐξήλεγξα οὐ προσήκοντα αὐτὴν ἐγκλήματα τῇ πόλει ἐγκαλοῦσαν*: extrema haec locum impediunt et onerant: nemo, si abessent, desiderasset, opinor, quae vel quotidiani sermonis negligentiam dedecent.

Vs. 28. *ὡς ἡ χώρα εἴη ἡ Μολοσσία αὐτῆς ἐν ᾗ τὸ ἱερόν ἐςιν*: tenemus manifestum emblema. Olympias ita contendebat: *ἐμή ἐςιν ἡ χώρα, ἐν ᾗ τὸ ἱερόν ἐςιν.* Putidum erat et perineptum nominare *partem* regni, in qua nobilissimum templum esset situm. Deinde poterat dicere: *ὡς ἡ Μολοσσία εἴη αὐτῆς*, quamquam ne hoc quidem suspicione careret, quoniam *ἡ Μολοττία* erat dicendum. Cf. Niebuhr in *Lectt. Histor. et Philolog.* Part. III. pag. 271. Itaque nomen veteribus inauditum, inepte additum, alieno loco insertum expungere dubitabimus? Utcumque vetus liber est, at istiusmodi interpolationes sunt aliquanto vetustiores. Quam vellem hoc tenerent ac persentirent omnes, qui antiquas *Graecas* litteras tractant. Non tam diu insulsa additamenta omne genus praeclarissimum quemque scriptorem inquinassent. Nunc passim *interstrepit anser olores* et magistelli et scioli suas voculas interponunt Principum virorum orationi, plerumque ad interpretanda ea, quae nemo non intelligit, non-

numquam moleste et odiose obloquuntur. In animo est utriusque generis plurima exempla e diversissimis scriptoribus collecta et selecta cum philologis propediem communicare. Nunc duo apponam. Thucydides scripserat V. 83. ἐςράτευσαν ἐς τὸ Ἄργος — ὑπῆρχε δέ τι αὐτοῖς καὶ αὐτόθεν πρασσόμενον, magistellus adscribit scholion: αὐτόθεν: ἐκ τοῦ Ἄργους. Puerulis hoc scriptum esse apparet. Qui Thucydidem inspiciet videbit hanc loci esse nunc scripturam: ὑπῆρχε δέ τι αὐτοῖς καὶ ἐκ τοῦ Ἄργους αὐτόθεν πρασσόμενον. Contrarii generis emblema nimium diu latuit in Xenophontis *Cyropaed.* VIII. 1. 44. ὥςε καὶ οὗτοι αὐτὸν (οἱ δοῦλοι) ὥσπερ οἱ ἄριςοι πατέρα ἐκάλουν, ὅτι ἐπεμέλετο αὐτῶν. Subsannans aliquis adscripsit: ὅπως ἀναμφιλόγως ἀεὶ ἀνδράποδα διατελοῖεν: haec nunc pro Xenophonteis leguntur. Sed ad Hyperidem redeo. Continuo sequitur: οὔκουν προσῆκεν ἡμᾶς τῶν ἐκεῖ οὐδὲ ἓν κινεῖν. Necesse est scribere προσήκειν. Schneidewino haec ex Olympiadis persona dici videbantur, quem vel ἡμᾶς refellit. Neque προσῆκεν dixisset matrona impotens, sed arrogantius προσήκει, quod nunc ex indirecta oratione pellucet.

Vs. 30. ἐν ἀδικήματι ψηφίσησθε εἶναι: nove dictum et perperam dictum pro ἐν ἀδικήματος μέρει.

Pag. 315, 1. τῶν ῥητόρων ἐάν τις ἀδικῇ τοῦτον κρίνειν, ςρατηγὸς ἐάν τις κτέ: palam est excidisse ἢ post κρίνειν.

Vs. 8. τίνας οὖν κέκρικα καὶ εἰς ἀγῶνα καθέςακα; Quid hoc verbi est καθέςακα? Ex sordibus sequioris Graecitatis esse satis constat. Quid igitur? Hyperidemne eo usum librario nostro credemus? Non faciam, inquis. Neque ego. *Athenienses* illis temporibus, et aliquanto post etiam, non ferebant τοὺς σολοικίζοντας, sed obstrepebant aut leniter admonebant, si quis extra *Atticam* natus sic peccasset. Ne Demetrio quidem Poliorcetae, urbe post defectionem vi recepta, pepercerunt βαρβαρίζοντι, vid. Plut. *Moral.* p. 183. A. Equidem suspicor καὶ εἰς ἀγῶνα καθέςακα additamentum esse *Graeculi*. *Atheniensibus* satis erat dixisse: τίνας οὖν κέκρικα; quidquid additur male additur. Exspectant quos sit nominaturus. Continuo nominat.

Vs. 13. ὑπὲρ ὧν Φιλίππῳ ὑπηρέτει καί: simplicissimum est recipere ὑπηρετήκει, quod Schoemanno in mentem venit.

Venio nunc ad locum pessime mulcatum, in quo uno quid in papyraceo libro scriptum fuerit neque oculis neque conjectu-

ra neque ulla ope reperiri potuit pag. 316, 4. Scripturae veteris hae sunt reliquiae: *ωσ αλλοθι που ουτοι την γνωμην αν σχοιησαν η επ αυτου του πραγματοσ και ποτε . . . αδικειυμασοκριν . . ενοσηουκακ . . . μοιδοκεισειδ . . αιωπολυευκτε . . . . καιοιταυταγι . . . . . . αυτεσοτιου . . . . . . ϛινου . . . . εντηιοικουμενηι.* SCHNEIDEWIN haec ita constituit: *ὡς ἄλλοθί που οὗτοι τὴν γνώμην ἂν σχοίησαν ἢ ἐπ' αὐτοῦ τοῦ πράγματος.*

Καὶ πότερον ἀδικεῖ ὑμᾶς ὑποκρινόμενος ἢ οὒ κακῶς ἐμοὶ δοκεῖς εἰδέναι, ὦ Πολύευκτε· ἀλλ' οἱ δίκαιοι ταῦτα γινώσκουσι πάντες ἐπεὶ οὐδὲν μέν ἐϛιν οὐδαμοῦ ἐν τῇ οἰκουμένῃ. in quibus multa sunt quae improbes. Apparet scribam dedisse: *καὶ πότερον ἀδικεῖ ὑμᾶς ὁ κρινόμενος ἢ οὔ.* SCHN. » *ὑποκρινόμενος i. e. συκοφαντῶν fidenter rescripsi, quod sententia flagitabat.*" At *ὑποκρίνομαι* non est *συκοφαντῶ*, neque hoc flagitat sententia, sed ut haec verba cum superioribus coniungantur, quo facto lubenter carebimus infelicibus coniecturis SCHNEIDEWINI et SCHOEMANNI, quae in *Addendis* afferuntur. *Κακῶς ἐμοὶ δοκεῖς εἰδέναι* dicitur significare: *ἀγνοεῖν ἐμοὶ δοκεῖς*, quod mihi non videtur credibile: *κακῶς εἰδότες* pro *οὐκ εἰδότες* saepiuscule occurrit, imprimis apud ISOCRATEM, sed neque *κακῶς οἶδα* vel *κακῶς εἰδέναι* usquam legitur neque haec interpositis aliis verbis dirimi possunt. Praeterea non possunt haec *ἀσυνδέτως* continuari. Quid sit scribendum tum demum intelligetur quum caetera evidenti emendatione restituta erunt. Dubitanter coniicio: *καίτοι ταῦτά γ' ἴσασι πάντες ὅτι*, ubi scriba de more *ισασινπαντες* posuerit. In caeteris credo meliora dari posse quam BS. dederunt: namque in *οὐδὲν μέν ἐϛιν οὐδαμοῦ ἐν τῇ οἰκουμένῃ* et *μέν* nihili est et *οὐδαμοῦ τῆς οἰκουμένης Graecum* est. Supplendum suspicor: *ἴσασι πάντες ὅτι οὔτε δῆμός ἐϛιν οὐδεὶς ἐν τῇ οἰκουμένῃ οὔτε μόναρχος οὔτ' ἔθνος*, ut omnes, qui ubique sunt, animi magnitudine superare dicantur *Athenienses*, non tantum Barbaros, qui soli verbis *οὔτε μόναρχος οὔτ' ἔθνος* significantur.

Vs. 12. *τοσοῦτον οὗτοι ἀπέλιπον ἀκούσεσθαί τινα τοιοῦτον λόγον:* nihil vidi infelicius quam istud *ἀκούσεσθαι* de coniectura expletum ex . . *οεσθαι.* Ut vidi, ut supplevi: *ἀπέλιπον προσίεσθαι.* Idem SCHOEMANNUS repperit. SCHNEIDEWINUS vestigiis scripturae pressius insistens *προσέσθαι* probavit. Si quid iudico, librarius

προσέσθαι dedit, orator προσίεσθαι. Indicio esse poterit iunioribus lectio ἀπέλιπον ἀκούσεσθαι nihil esse tam absurdum quin verum et sanum videatur iis, qui codicum scripturis confidunt » *infinitivus futuri exigendus est ad normam talium, qualia sunt ἐβούλοντο τιμωρήσεσθαι, ἐφίεντο ἄρξειν rell. apud Lobeckium post Phrynichum* p. 747 sq. *et Kruegerum ad Thucyd.* I. 27. 2." annotavit haec SCHNEIDEWIN ante repertam veram lectionem. Invertenda ratio est: quidquid de genere hoc docti collegerunt exigendum est ad normam talium, quale est ἀπέλιπον ἀκούσεσθαι, quod natum est ex errore. In locis a LOBECKIO allatis nihil est praesidii. ZOSIMUM et ZOSIMI similes liceat contemnere. Apud ANDOCID. de *Myster.* p. 15. §. 184 pro: εἰ γὰρ ἐβουληθήτην με ἀπολεῖν καὶ τὼ θεώ, quod LOBECKIUS concoquere potuit, optimus liber ἐβουλέσθην με ἀπολλύναι τὼ θεὼ dedit. Foedius etiam abutitur loco DINARCHI in PHILOCL. §. 1. φάσκων κωλύσειν Ἅρπαλον εἰς τὸν Πειραιᾶ καταπλεύσειν, nam καταπλεύσειν barbarum est pro καταπλεύσεσθαι, opinor. ARISTOPHANI ζητεῖς ἀναπείθειν redditum est et ἤθελον θηήσασθαι HERODOTO, cuius pessime depravatus locus est IV. 111 et ilocaliter corrupta verba VI. 137. ἐπιβουλεύοντας ἐπιχειρήσειν φανῆναι ἐπ' αὐτοφώρῳ, ubi si μέλλοντας ἐπιχειρήσειν repones, res et oratio sana erit. In *Equitibus* ARIST. 182 ἀξιῶ ἰσχύειν nunc legitur et πείθεσθαι ἀνάγκη in *Anabasi* VII. 2. 15. Unus locus superest AESCHINIS in *Ctesiph.* §. 114. p. 69. διωμολογήθη δ' αὐτῷ ἀποςαλήσεσθαι μνᾶς εἴκοσιν, ἐφ' ᾧ τε βοηθήσειν τοῖς Ἀμφισσεῦσιν, quod unus quisque bene *Attice* sciens correxerit βοηθήσει, id BEKKERUS in libris repertum sprevit. KRUEGERUS quid attulerit vitiorum non vacat quaerere. Certum est nil prodesse κακοῖσιν ἰᾶσθαι κακά.

Vs. 18. ὃ ἠργάζετο: librario imputandum pro εἰργάζετο: eidem debetur τρία ἔτη pro τρί' ἔτη, de quo genere errorum praestat nihil nunc quam pauca dicere. Satis esto iuniores philologos admonuisse veram et veterem scripturam in antiquissimis mendis saepe optime servatam latere. Quid velim ostendet locus ISAEI de NICOSTRATI hered. §. 8. p. 47. Ἀμινιάδης (leg. Ἀμειν.) δὲ υἱὸν αὐτῷ πρὸς τὸν ἄρχοντα ἧκεν ἄγων οὐδὲ τριετῆ γεγονότα. ΤΡΙΕΤΗ male lectum servavit ISAEI manum τρί' ἔτη.

Vs. 21. εἰληφέναι αὐτόν: cod. α . . . . . leg. αὐτούς.

Vs. 24. ἐν ἀσφαλείᾳ κατέςησαν: vera scriptura est ἐν ἀσφαλεῖ.

Saepe sic peccatur eodemque remedio utendum et apud alios et in THUCYDIDE II. 75.

Vs. 26. *αἱ καινοτομίαι πρότερον ἐκλελειμμέναι*: supplendum *αἳ πρότερον ἐκλ.* et pro *νῦν ἐνεργοῦνται* (cod. *ενεργοι* cum sigla) *ἐνεργοί εἰσιν* legendum, quod SCHNEIDEWIN in Addendis recte monuit. In loco XENOPHONTIS, quem attulit (*de Vectt.* IV, 2.), legendum est: *ὅτι μὲν πάνυ πάλαι ἐνεργά ἐστι (τὰ ἀργυρεῖα) πᾶσι σαφές*, non *παλαιά*.

Vs. 35. *ἀπορίαν ἐν τῇ πόλει παρασκευάζοντες*: praepositionem expungit BAKIUS.

Pag. 317, 2. *μὴ περιίδητε αὐτόν*: participium aliquod desiderant. Non esse opus ostendent hi loci. DEMOSTH. *in Apatur.* p. 896. *ἐγὼ δὲ τὸν πιστεύσαντα ἐμαυτῷ τοσούτῳ ἔφην ἧττον ἂν περιιδεῖν ὅσῳ φυγὰς ὢν καὶ ἀτυχῶν ἠδικεῖτο ὑπὸ τούτου.* ARIST. *Acharn.* 55.

ὦ Τριπτόλεμε καὶ Κελεέ, περιόψεσθέ με;

his locis ac similibus *περιορᾶν* est *ἐγκαταλείπειν*. Non est abutendum in hanc rem loco ARISTOPHANIS in *Nub.* 124.

ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος Μεγακλέης
ἄνιππον, ἀλλ' εἴσειμι.

sed emendandum: *ἄνιππον ὄντ', ἀλλ' εἶμι.*

Vs. 14. *ου τειμωρη*: BS. *οὐ τιμωρῇ*. attamen satis constat *Athenienses* non aliter dixisse quam *τιμωρεῖ*, quales formas editores modo recipiunt, modo aspernantur, ut res et casus tulerit. Recte nuper eas formas PLATONI constanter reddidit STALLBAUMIUS. Alii, in his DINDORFIUS in DEMOSTHENE, formas *Atticas* subinde tantum revocarunt, *si libri*, tamquam aves, *addicerent.* Sed non minus futile est hoc auspiciorum genus quam quae olim ex pullis capiebantur. Erit aliquando ille dies, quum istam quoque eruditam superstitionem mens sanior delebit ac desinent studia nostra impedire homunculi, qui quam sint in *antiquis Graecis* litteris et sermone plumbei in HYPERIDIS librario nunc satis ostendisse videor. Restat unum vitium ab editoribus commissum, vs. 16 ubi in Codice est ΒΡΑΧΥΔΕΤΙΕΙΠΩΝ, ediderunt *βραχὺ δέ τι εἰπών*. Verum esse quod reposui fidem faciet vel hic locus LYCURGI *in Leocrat.* §. 146. *βούλομαι δ' ἔτι βραχέα πρὸς ὑμᾶς εἰπὼν καταβῆναι.*

Scribebam *Lugd.-Bat.* m. *Iunio* MDCCCLIII.